τοῦ Θεοῦ Λόγου, ὥσθ' ὅταν λέγηται τὸν τοῦ Θεοῦ Λόγον ἄνθρωπον εἶναι, οὕτω νοεῖσθαι, ὅτι τὸ πρόσωπον τοῦ Θεοῦ Λόγου πρόσωπόν ἐστι τοῦ ἀνθρώπου, καὶ τὸ ἀνάπαλιν, καὶ οὕτω τὸ τοῦ Θεοῦ Λόγου κατηγορούμενον καὶ τοῦ ἀνθρώπου κατηγορεῖσθαι, μετά τινος ἐπαναλήψεως μέντοι· οἷον, πέπονθεν ὁ Θεός, τουτέστιν ὁ ἄνθρωπος ὅς ἐστι Θεὸς διὰ τὴν τοῦ προσώπου ἑνότητα πέπονθεν· καὶ ὁ ἄνθρωπος τὸν νεκρὸν ἀνέστησεν, τουτέστιν ὁ Θεός, ὅς ἐστι καὶ ἄνθρωπος διὰ τὴν τοῦ προσώπου ἑνότητα. Αὕτη δὲ οὐδὲν σχεδὸν διαφέρει τῆς τοῦ Νεστορίου ἡ δόξα, εἰ καὶ δοκεῖ· πρόσωπον γὰρ οὐδέν ἐστιν ἄλλο ἢ ἄτομος οὐσία λογικῆς φύσεως· ἡ δὲ ἄτομος οὐσία ἐστὶν ὑπόστασις, ὥστε πρόσωπον καὶ ὑπόστασις ἐν τῇ λογικῇ φύσει ταὐτόν ἐστιν, εἰ καὶ ἁπλῶς οὐκ ἔστι ταὐτόν, ἀλλ' ἐπὶ πλειόνων ἡ ὑπόστασις λέγεται. Εἰ οὖν ἐν τῷ Χριστῷ δύο ὑποστάσεις εἰσί, καὶ δύο εἰσὶ πρόσωπα καὶ δύο ὑποκείμενα, καὶ οὕτως ὁ Χριστὸς οὐκ ἔσται εἷς ἁπλῶς, εἰ μή πῃ ἔσται εἷς, ὅπερ ἐστὶ διαλύειν τὸν Ἰησοῦν. Ἀλλ' αὕτη μὲν ἡ δόξα οὐδ' ἐλέγχων δεῖται πλειόνων.

## XXXIX. — Τί περὶ τῆς τοῦ Χριστοῦ σαρκώσεως, ἡ καθολικὴ πίστις φρονεῖ.

Φανερὸν τοίνυν, ὅτι κατὰ τὴν παράδοσιν τῆς καθολικῆς πίστεως ἀνάγκη λέγειν ἐν τῷ Χριστῷ εἶναι θείαν φύσιν τελείαν, καὶ ἀνθρωπίνην τελείαν, ἐκ ψυχῆς δηλονότι λογικῆς συνεστηκυῖαν καὶ ἀνθρωπίνης σαρκός, αἵτινες ἥνωνται φύσεις ἐν τῷ Χριστῷ οὐ κατ' ἐνοίκησιν μόνην, οὔτε κατὰ συμβεβηκός, οὔτε ἐν μόνῃ προσωπικῇ σχέσει ἢ ἰδιότητι, ἀλλὰ κατὰ μίαν ὑπόστασιν καὶ ὑποκείμενον ἕν. Ἀνάγκη γὰρ ἕνα καὶ τὸν αὐτὸν εἶναι, περὶ οὗ ἀδιακρίτως ἐν τῇ Γραφῇ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα λέγονται, οἷον τὰ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ, καὶ τὰ τοῦ ἀνθρώπου τῷ Θεῷ, ἀντικείμενα δὲ ὄντα, ὡς τὸ παθητὸν καὶ ἀπαθές, καὶ τὸ θνητὸν καὶ ἀθάνατον, εἰ καὶ κατὰ τοῦ αὐτοῦ κατηγοροῦνται τοῦ Χριστοῦ, ἀλλὰ καθ' ἕτερον καὶ ἕτερον, οὐ κατὰ τὸ αὐτό. Ὡς οὖν τὸ καθ' οὗ κατηγοροῦνται ἓν ἄνευ διακρίσεως, οὕτω πρὸς τὸ καθὸ κατηγοροῦνται δεῖ ποιεῖσθαι διάκρισιν.

Ἐπεὶ τοίνυν ἄλλο καὶ ἄλλο ἐστὶ καθὸ | κατηγοροῦνται τοῦ Χριστοῦ f. 164
τὰ θεῖα καὶ τὰ ἀνθρώπινα, ἀνάγκη δύο φύσεις λέγειν ἐν τῷ Χριστῷ ἀσυγχύτους καὶ ἀμιγεῖς· τὸ δ' οὗ κατηγοροῦνται αἱ φυσικαὶ ἰδιότητες, αὐτῷ γένει τῆς οὐσίας ἀνήκουσαι, ὑπόστασίς ἐστι καὶ ὑποκείμενον ἐκείνης τῆς φύσεως. Ἐπεὶ τοίνυν ἀδιάκριτόν ἐστι καὶ ἓν τὸ καθ' οὗ κατηγοροῦνται τὰ θεῖα καὶ τὰ ἀνθρώπινα περὶ τὸν Χριστόν, ἀνάγκη λέγειν τὸν Χριστὸν μίαν ἔχειν ὑπόστασιν καὶ ἓν ὑποκείμενον θείας καὶ ἀνθρωπίνης φύσεως. Οὕτω γὰρ ἀληθῶς καὶ ἰδίως τὰ θεῖα κατηγορηθήσεται τοῦ ἀνθρώπου ἐκείνου, καθόσον ὁ ἄνθρωπος ἐκεῖνος ὑποκείμενόν ἐστιν οὐ τῆς ἀνθρωπίνης φύσεως μόνον, ἀλλὰ καὶ τῆς θείας, καὶ ἀνάπαλιν τοῦ Θεοῦ Λόγου τὰ

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀνθρώπινα κατηγορηθήσεται, καθόσον τῆς ἀνθρωπίνης φύσεώς ἐστιν ὑποκείμενον.

Ἐξ οὗ δῆλον ὅτι, εἰ καὶ ὁ Υἱὸς σεσάρκωται, οὐκ ἀνάγκη τὸν Πατέρα ἢ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι σεσαρκωμένα· ἡ γὰρ σάρκωσις οὐ γέγονε κατὰ τὴν ἐν τῇ φύσει ἕνωσιν, ἐν ᾗ τὰ θεῖα πρόσωπα κοινωνοῦσιν, ἀλλὰ κατὰ τὴν ὑπόστασιν καὶ τὸ ὑποκείμενον, καθὸ τὰ τρία πρόσωπα διακρίνονται· καὶ οὕτως, ὥσπερ ἐν τῇ Τριάδι ἐν μιᾷ φύσει πλείω εἰσὶ πρόσωπα ὑφεστῶτα, οὕτως ἐν τῷ τῆς σαρκώσεως μυστηρίῳ ἐν πλείοσι φύσεσιν ἓν πρόσωπόν ἐστιν ὑφεστώς.

## XL. — Ἀντιθέσεις κατὰ τῆς σαρκώσεως.

Ἀλλ' οἱ τῆς πίστεως ἀντικείμενοι τοιαῦτά τινα ἀντεπάγουσι τῇ θείᾳ σαρκώσει· ὁ Θεὸς οὔτε σῶμά ἐστιν, οὔτε δύναμις ἐν σώματι· ταῦτα δὲ καὶ ἐν τῷ πρώτῳ δέδεικται ὑφ' ἡμῶν. Εἰ δὲ σάρκα ἀνέλαβεν, ἢ εἰς σῶμα μετεβλήθη, ἢ μετὰ τὴν σάρκωσιν δύναμις ἦν ἐν σώματι, ἅπερ ἀδύνατα. Ἀδύνατον ἄρα ἦν τὸν Θεὸν σαρκωθῆναι.

Ἔτι, πᾶν τὸ νέαν φύσιν μεταλαμβάνον ὑποκείμενόν ἐστιν οὐσιώδους μεταβολῆς. Εἰ τοίνυν ἡ ὑπόστασις τοῦ Θεοῦ Λόγου γέγονεν ἐκ νέου ἐν τῇ ἀνθρωπίνῃ φύσει ὑφεστηκυῖα, οὐσιωδῶς μεταβεβλῆσθαι δόξειεν ἄν.

Ἔτι, εἰ ἡ ὑπόστασις τοῦ Υἱοῦ τοῦ Θεοῦ διὰ τῆς σαρκώσεως τῆς ἀνθρωπίνης φύσεώς ἐστιν ὑπόστασις, ἕπεται τὸν Υἱὸν τοῦ Θεοῦ μὴ πανταχοῦ εἶναι μετὰ τὴν σάρκωσιν.

Ἔτι, εἰ ἡ τοῦ Χριστοῦ ψυχὴ τῷ τιμιωτέρα εἶναι τοῦ σώματος οὐκ ἔστιν αὐτοῦ ὑποκείμενον τοῦ σώματος, ἀλλὰ μᾶλλον εἶδος αὐτοῦ, οὐδ' ἄρα ἡ θεότης ὑποκείμενον ἔσται τῆς ἀνθρωπίνης φύσεως, ἀλλὰ μᾶλλον ὡς εἶδος ἕξει πρὸς αὐτήν.

Ἔτι, πᾶν τὸ ἐπεισιόν τινι μετὰ τὸ τέλειον εἶναι, κατὰ συμβεβηκὸς αὐτῷ ἔπεισιν. Ἀλλ' ἐπεὶ ὁ θεῖος Λόγος ἐξ ἀϊδίου ἔστιν, φανερὸν ὡς ἡ
f. 164v προσληφθεῖσα σὰρξ ἐπεισῆλθεν ἐκείνῳ μετὰ τὸ τέλειον εἶναι, ὥστε | κατὰ συμβεβηκὸς ἐπῆλθέ τι τοῦτο.

## XLI. — Πῶς δεῖ νοεῖν τὴν σάρκωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ.

Πρὸ τοῦ τὴν λύσιν τούτων ἐπαγαγεῖν, δεῖ προειδέναι τί ἐστι τὸ ἡνῶσθαι ἐν φύσει, καὶ τί ἐστι τὸ ἡνῶσθαι ἐν προσώπῳ. Ἐν τῇ φύσει μὲν οὖν ἑνοῦνται ἐκεῖνα, ἐξ ὧν εἴδους τινὸς ὁλότης συνίσταται, ὡς ἡ ψυχὴ καὶ τὸ σῶμα ἑνοῦνται πρὸς σύστασιν εἴδους ζῴου, καὶ καθόλου τὰ μέρη τινὸς εἴδους ὄντα. Ἀδύνατον δὲ εἴδει τινὶ ἐν τῇ ἑαυτοῦ ὁλότητι καθεστῶτι ἀλλότριόν τι ἑνωθῆναι ἐν ἑνότητι φύσεως, μὴ τοῦ εἴδους διαλυθέντος, ὥσπερ εἰ τῇ ἐμψύχῳ μόνον οὐσίᾳ τὸ αἰσθητικὸν προστεθείη, ἔσται ἕτερον εἶδος, ἤγουν ζῷον ἀπὸ φυτοῦ· ἐοίκασι γὰρ ἀριθμοῖς τὰ εἴδη,

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οἳ ποικίλλονται προσθήσει καὶ ἀφαιρέσει μονάδος. Οὐδὲν δὲ κωλύει τινὰ ἐν τοῖς ἀτόμοις ἑνοῦσθαι, ἅπερ οὐχ ἑνοῦνται πρὸς μίαν ὁλότητα εἴδους· ἡ γὰρ λευκότης καὶ τὸ μουσικὸν ἐν μὲν τῷ καθόλου τῇ ἀνθρωπότητι οὐχ ἑνοῦνται, ἐν δὲ τῷ Σωκράτει, ἑνοῦνται· καὶ ταῦτά εἰσι τὰ ἐν ὑποκειμένῳ εἶναι λεγόμενα. Καὶ ἐπεὶ τὸ ἄτομον τῆς οὐσίας ὑπόστασις λέγεται, ἐν δὲ ταῖς λογικαῖς οὐσίαις καὶ πρόσωπον, εἰκότως τὰ τοιαῦτα ἑνοῦσθαι λέγονται καὶ καθ' ὑπόστασιν ἢ ἐν προσώπῳ, καὶ οὕτω φανερὸν εἶναί τινα ἡνωμένα καθ' ὑπόστασιν καὶ οὐ κατὰ φύσιν.

Οἱ μὲν οὖν αἱρετικοὶ ἀκούοντες ἕνωσιν Θεοῦ καὶ ἀνθρώπου ἐν τῷ Χριστῷ, ἐναντίαις ὁδοῖς προεχώρησαν πρὸς τὸ τοῦτο νοῆσαι, ὡς φθάσαντες ἐπεξειργασάμεθα· ἡ δὲ πίστις οὔτ' ἐκ δυοῖν ἀναλωθέντων εἰς ἄλληλα μίαν γενέσθαι φύσιν κρατεῖ, οὔτε ὡς συμβεβηκὸς ἑνωθῆναι τῇ θείᾳ τὴν ἀνθρωπίνην, ὥσπερ ἀνθρώπῳ ἱμάτιον καὶ οἰκίαν, ἀλλ' οὕτως ἐν τῇ ἀνθρωπίνῃ φύσει τὸν Λόγον ὑποκεῖσθαι ὑφεστῶτα, ὥσπερ ἐν ἰδίᾳ αὐτοῦ γενομένῃ διὰ τῆς σαρκώσεως, ὥστε τὸ ἐκείνου σῶμα ἀληθῶς εἶναι σῶμα τοῦ Θεοῦ Λόγου· ὁμοίως δὲ καὶ τὴν ψυχὴν καὶ τὸν Λόγον τοῦ Θεοῦ ἀληθῶς εἶναι ἄνθρωπον.

Τελείως μὲν οὖν ἀνελίττεσθαι τὴν ἕνωσιν ταύτην ὑπ' ἀνθρώπου ἀδύνατον, ἀλλ' ὡς οἷόν τε παραδείγματα φανεροῦντες, τῇ τῆς ψυχῆς καὶ τοῦ σώματος ἑνώσει κεχρήμεθα, ἧς οὐδὲν ὁμοιότερον ἐν τοῖς κτίσμασι τῷ νῦν προκειμένῳ· ὅθεν καὶ Ἀθανάσιος ἐν τῷ οἰκείῳ συμβόλῳ· „Ὥσπερ φησίν, ἡ λογικὴ ψυχὴ καὶ τὸ σῶμα εἷς ἐστιν ἄνθρωπος, οὕτως ὁ Θεὸς καὶ ὁ ἄνθρωπος εἷς ἐστι Χριστός". Ἐπεὶ μέντοι ἡ λογικὴ ψυχὴ ἑνοῦται τῷ σώματι καὶ ὡς ὕλῃ καὶ ὡς ὀργάνῳ, ἀδύνατον εἶναι τὴν ὁμοιότητα κατὰ τὸν πρότερον τῆς ἑνώσεως τρόπον· οὕτω γὰρ ἐκ Θεοῦ καὶ ἀνθρώπου
μία ἂν ἐγίνετο | φύσις· ἡ γὰρ ὕλη καὶ τὸ εἶδος τὴν φύσιν ἰδίως ὑφιστᾶσι f. 165
τοῦ εἴδους· οὐκοῦν κατὰ τὸν δεύτερον τρόπον· οὕτω δὲ καὶ τὰ τῶν ἀρχαίων διδασκάλων ῥητὰ συμφωνεῖ, οἳ τὴν ἀνθρωπίνην φύσιν ἐν τῷ Χριστῷ ὡς ὄργανόν τι τῆς θεότητος ὑπετίθεντο, ὃν τρόπον καὶ τὸ σῶμα τῆς ψυχῆς. Ἐπεὶ δὲ τὸ μὲν σῶμα καὶ τὰ τούτου μέρη ὄργανόν ἐστι συνημμένον, τὸ δὲ σκέπαρνον καὶ τὰ τοιαῦτα ἔξωθέν εἰσι καὶ κοινότερα, οἱ μὲν ἄλλοι ἄνθρωποι πρὸς τὸν Θεὸν παραβάλλονται ὥσπερ τινὰ ὄργανα ἔξωθεν δι' ὧν ἐνεργεῖ· κινοῦνται γὰρ ὑπὸ τοῦ Θεοῦ οὐκ ἐπὶ τὰς ἰδίας μόνον ἐνεργείας, ὅτι αὐτός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ἢ τελειοῦν, ἀλλὰ καὶ ἐπὶ τὰς κοινὰς πάσῃ τῇ λογικῇ φύσει, οἷον τὸ νοεῖν τὴν ἀλήθειαν, τὸ τὰ ἀγαθὰ ἀγαπᾶν, τὸ τὰ δίκαια ἐνεργεῖν· ἡ δ' ἀνθρωπίνη φύσις προσείληπται ὑπὸ τοῦ Χριστοῦ ἵν' ὀργανικῶς ἐνεργεῖν τὰς μόνου τοῦ Θεοῦ ἰδίας ἐνεργείας, ὥσπερ τὸ καθαίρειν τὰς ἁμαρτίας, φωτίζειν κατὰ χάριν τὰς διανοίας, εἰσάγειν εἰς τὴν τελειότητα τῆς αἰωνίου ζωῆς, καὶ διὰ τοῦτο παραβάλλεται αὕτη πρὸς τὸν Θεὸν ὥσπερ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἴδιον ὄργανον καὶ συνημμένον, ὃν τρόπον πρὸς τὴν ψυχὴν ἡ χείρ. Ἀλλ᾽ ὅμως οὔτε ἡ ἀνθρωπίνη φύσις ἐκ τῆς φύσεώς ἐστι τοῦ Λόγου, οὔθ᾽ ὁ Λόγος ἐστὶν εἶδος αὐτῆς· συνῆπται μέντοι ταύτῃ κατὰ τὸ πρόσωπον· καὶ ἵνα παράδειγμά τι καὶ τοῦτο δυνατὸν δειχθῇ, ἡ γλῶσσα καθό ἐστιν ὄργανον τοῦ Λόγου, ὀργανόν ἐστι τοῦ νοῦ ἴδιον· ἀλλ᾽ ὁ νοῦς οὐδενὸς μέρος τοῦ σώματός ἐστιν εἶδος καὶ ἐνέργεια· καὶ ὁ ἔκτος δάκτυλος ὀργανόν ἐστιν οὐ προσῆκον τῇ φύσει τοῦ εἴδους, οἰκεῖον μέντοι κατὰ τὴν ὕλην τουτῳὶ τῷ ἀτόμῳ.

Οὐ ζητητέον δὲ ἐν ταῖς εἰκόσι ταύταις παντελῆ ὁμοιότητα· δεῖ γὰρ τὸν τοῦ Θεοῦ Λόγον πολλῷ ὑψηλότερον καὶ ἐνδότερον δύνασθαι τῇ ἀνθρωπίνῃ φύσει ἑνοῦσθαι ἢ ἑκάστη ψυχὴ τῷ ἰδίῳ ὀργάνῳ, καὶ μάλιστα ὅτι καὶ πάσῃ τῇ ἀνθρωπίνῃ φύσει διὰ νοῦ μέσου συνῆφθαι λέγεται, εἰ καὶ τῇ ἑαυτοῦ δυνάμει ὁ τοῦ Θεοῦ Λόγος πάντα διήκει, ὡς ἂν πάντα φέρων καὶ συντηρῶν, τοῖς νοεροῖς μέντοι κτίσμασιν, ἅτινα ἰδίως ἀπολαύειν τοῦ Λόγου δύναται καὶ τούτου μέτοχα εἶναι, κατά τινα γνησιότητα ὁμοιότητος ὑψηλότερον καὶ ἀπορρητότερον συνάπτεσθαι δύναται.

## XLII. — Ὅτι τὸ τὴν ἀνθρωπίνην φύσιν ἀναλαβεῖν μάλιστα τῷ Λόγῳ προσῆκε.

Ἐξ οὗ καὶ τοῦτο φανερόν, ὅτι ἡ πρόσληψις τῆς ἀνθρωπίνης φύσεως f. 165v | τῷ τοῦ Λόγου προσώπῳ μάλιστα ἥρμοζεν, ὅτι πρὸς τὴν τῶν ἀνθρώπων γέγονε σωτηρίαν, ἥτις ἐστὶν ἡ κατὰ τὸ νοερὸν μέρος ἐν τῷ τὴν ἀλήθειαν θεωρεῖν τελείωσις· ὁ δὲ Λόγος κατὰ νοερὰν πρόοδον πρόεισιν ἐκ τοῦ Θεοῦ καὶ Πατρός.

Ἔτι, καὶ διότι ὁ Λόγος πρὸς τὸν ἀνθρώπινον λόγον οἰκειότητα ἔχει, δι᾽ ἣν οἰκειότητα καὶ τῷ ἀνθρώπῳ καὶ τῷ Λόγῳ τοῦ Θεοῦ ἡ εἰκὼν ἀποδίδοται· ὁ γὰρ Ἀπόστολος ἐν τῇ πρὸς Κολοσσαεῖς περὶ τοῦ Λόγου φησίν, ὅτι „ἔστιν εἰκὼν τοῦ Θεοῦ“· καὶ περὶ τοῦ ἀνθρώπου, ὅτι „ὁ ἀνὴρ εἰκών ἐστι τοῦ Θεοῦ“· οὐ μόνον δὲ πρὸς τὴν λογικὴν φύσιν, ἀλλὰ καὶ πρὸς τὴν κοινὴν οἰκείως ἔχει ὁ Λόγος· περιέχει γὰρ πάντων τῶν ὑπὸ Θεοῦ κτισθέντων τοὺς λόγους, ὡς καὶ ὁ τεχνίτης τῇ τοῦ ἰδίου νοῦ περιλήψει πάντων συλλαμβάνει τοὺς λόγους τῶν τεχνητῶν. Οὕτω τοίνυν πάντα τὰ κτίσματα οὐδὲν ἕτερόν εἰσιν ἢ λογική τις ἔκφανσις καὶ παράστασις τῶν ἐν τῇ νοήσει τοῦ θείου Λόγου περιεχομένων· διὸ καὶ πάντα γέγονε διὰ τοῦ Λόγου. Εἰκότως τοίνυν ὁ Λόγος τῷ κτίσματι ἥνωται, τῇ ἀνθρωπίνῃ δηλαδὴ φύσει.

---

28 Col. 1, 15 I Cor. 11, 7

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XLIII. — Ὅτι ἡ προσληφθεῖσα τῷ Λόγῳ ἀνθρωπίνη φύσις οὐ προϋπέστη, ἀλλ' ἐν αὐτῇ τῇ συλλήψει προσείληπται.

Εἰ γὰρ προϋπῆρχεν, πάντως ἂν ἐν ἀτόμῳ ἦν, καὶ ἦν ἄν τι ἄτομον αὕτη πρὸ τῆς ἑνώσεως, τουτέστιν ὑπόστασιν, κατὰ τὰ εἰρημένα, καὶ πρόσωπον, καὶ οὕτως ἦσαν ἂν καὶ μετὰ τὴν ἕνωσιν δύο ὑποστάσεις ἢ πρόσωπα, ἥ τε τοῦ Λόγου καὶ ἡ τοῦ ἀνθρώπου· καὶ οὕτως οὐκ ἂν ἦν ἡ ἕνωσις ἐν προσώπῳ ἢ ὑποστάσει, ὅπερ ἐστὶν ἐναντίον τῇ τῆς πίστεως ἀποφάσει.

Ἐμποδὼν δ' ἂν ἦν καὶ τῇ τελειότητι τῆς τοῦ Θεοῦ Λόγου σαρκώσεως, εἴ τι τῶν τοῦ ἀνθρώπου φυσικῶν ἀπῆν, οἷον τὸ γεννᾶσθαι, καὶ τὰ τοιαῦτα. Εἰ οὖν προϋφεστηκότα ἀνέλαβεν ἄνθρωπον ὁ θεῖος Λόγος, καὶ ψιλὸν ἄνθρωπον ἐν τῇ ἑαυτοῦ γεννήσει τυγχάνοντα, οὐκ ἂν ἀπεδίδοτο τῷ Λόγῳ ἡ ἐκείνου γέννησις· οὐκ ἂν ἡ μακαρία Παρθένος μήτηρ τοῦ Λόγου ἠδύνατο λέγεσθαι.

Ἀλλὰ δῆλον, ὡς ἐν αὐτῇ τῇ τῆς συλλήψεως ἀρχῇ τὴν ἀνθρωπίνην φύσιν ἥνωσεν ἑαυτῷ ἔν τινι ὡρισμένῳ νῦν. Τοῦτο δ' ἀπαιτεῖν δοκεῖ καὶ ἡ τῆς ἀνθρωπίνης γενέσεως τάξις, ὥστ' αὐτὸν τοῦτον τὸν συλλαμβανόμενον γεννᾶσθαι καὶ μὴ ἕτερον· ἡ γὰρ σύλληψις πρὸς τὴν γέννησίν ἐστι τεταγμένη. Ὅθεν ἐπεὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἀνθρωπίνῃ γενέσει γεγέννηται, ἔδει τὸν αὐτὸν καὶ ἀνθρωπίνῃ συλληφθῆναι συλλήψει, τουτέστιν οὐ μετὰ τὴν σύλληψιν αὐτῆς τὴν ἀνθρωπίνην φύσιν | ἀναλαβεῖν τὸν Θεὸν Λόγον, ὅπερ ἦν ψιλὸν f. 166
ἀναλαβεῖν ἄνθρωπον, ἀλλ' ἐν αὐτῇ τῇ συλλήψει.

## XLIV. — Ὅτι καὶ τελεία γέγονεν ἐν αὐτῇ τῇ συλλήψει, ὅσον κατὰ τὴν ψυχὴν καὶ τὸ σῶμα.

Ὁ γὰρ τοῦ Θεοῦ Λόγος μεσιτευούσης τῆς λογικῆς ψυχῆς τὸ σῶμα ἀνέλαβεν· οὐ μᾶλλον γὰρ τὸ τοῦ ἀνθρώπου σῶμα προσληπτόν ἐστιν ὑπὸ τοῦ Θεοῦ τῶν ἄλλων σωμάτων, εἰ μὴ διὰ τὴν λογικὴν ψυχήν. Οὐκ ἄρα ὁ τοῦ Θεοῦ Λόγος ἄνευ λογικῆς ψυχῆς τὸ σῶμα ἀνέλαβεν. Εἰ τοίνυν τὸ σῶμα ἐν αὐτῇ τῇ τῆς συλλήψεως ἀρχῇ προσελάβετο, ἔδει ἐν αὐτῇ τῇ ἀρχῇ τῆς συλλήψεως καὶ τὴν λογικὴν ψυχὴν τῷ σώματι ἑνωθῆναι· καὶ ἄτοπον δ' ἂν ἦν ἀνειδέῳ τινὶ πράγματι καὶ ἀτελεῖ ἑνωθῆναι τὸν Λόγον, πασῶν τελειοτήτων καὶ εἰδῶν πηγὴν καὶ αἰτίαν ὑπάρχοντα, πᾶν δὲ σωματικὸν πρὸ τῆς ἐμψυχώσεως, ἀτελές τι καὶ ἀνείδεον. Ἐξ ἀρχῆς ἄρα τῆς συλλήψεως ἐκείνης ἥνωτο τῷ σώματι ἡ ψυχή.

Ἐπεὶ δὲ καὶ ἡ ψυχὴ τὴν ἰδίαν ὕλην ἐπιζητεῖ, ὥσπερ καὶ πᾶν φυσικὸν εἶδος, ἰδία δὲ τῆς ψυχῆς ὕλη τὸ ὀργανικόν ἐστι σῶμα, ὡς δῆλον ἐκ τοῦ ταύτης ὁρισμοῦ, ἐν ἀρχῇ τῆς συλλήψεως ἔδει καὶ τὸ σῶμα ὀργανικὸν εἶναι καὶ εἰδοπεποιημένον. Ἀλλὰ καὶ ἡ τοῦ σώματος διοργάνωσις τῇ τῆς γενέσεως



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τάξει προηγεῖται τῆς εἰσαγωγῆς τῆς λογικῆς ψυχῆς· ὅθεν τοῦ ὑστέρου ὑποτεθέντος, ἀνάγκη καὶ τὸ πρότερον ὑποτίθεσθαι· ἡ δὲ μέχρι τοῦ προσήκοντος μέτρου τῆς ποσότητος αὔξησις τὴν τοῦ σώματος ἐμψύχωσιν οὐδὲν κωλύει. Διὰ τοῦτο γέγονεν ἀργανικὸν τὸ ἱερὸν ἐκεῖνο σῶμα καὶ μεμορφωμένον ἐν αὐτῇ τῇ ἀρχῇ τῆς συλλήψεως, οὔπω δὲ τὴν ὀφειλομένην εἶχε ποσότητα.

## XLV. — Ὅτι ἔπρεπεν ἐκ Παρθένου τὸν Χριστὸν γεννηθῆναι.

Τὸ γὰρ τοῦ ἀνδρὸς σπέρμα ὡς ἀρχὴ ζητεῖται ποιητικὴ διὰ τὴν ἐν αὐτῷ ποιητικὴν δύναμιν. Ἀλλ' ἡ ποιητικὴ δύναμις ἐν τῇ γενέσει τοῦ σώματος τοῦ Χριστοῦ οὐκ ἦν φυσική, κατὰ τὰ προειρημένα· ἡ μὲν γὰρ φυσικὴ δύναμις οὐκ ἀθρόον ὅλην τὴν τοῦ σώματος μόρφωσιν τελειοῖ· τὸ δὲ τοῦ Χριστοῦ σῶμα εὐθὺς ἦν μεμορφωμένον καὶ ὀργανικόν.

Ἔτι, ὡς ἐν τῇ κοινῇ τῶν ἀνθρώπων γενέσει τὸ τοῦ ἀνδρὸς σπέρμα τὴν ὑπὸ τῆς μητρὸς χορηγουμένην ὕλην εἰς τὴν ἑαυτοῦ ἕλκει οὐσίαν, οὕτως τὴν αὐτὴν ὕλην ἐν τῇ τοῦ Χριστοῦ γενέσει εἰς τὴν ἑαυτοῦ ἕνωσιν ὁ τοῦ Θεοῦ ἀνελάβετο Λόγος.

Ἔτι, ἐχρῆν ἰδιότητά τινα ἀναλάμψαι τῆς ἀϊδίου τοῦ Λόγου γεννήσεως
f. 166v καὶ ἐν τῇ ἀνθρωπίνῃ | αὐτοῦ γεννήσει· ὁ γὰρ λόγος, καθόσον ἐκ τοῦ λέγοντος πρόεισιν, εἴτ' ἔνδον συλληφθεὶς εἴτ' ἔξω προελθών, οὐδεμίαν φθορὰν ἐπάγει τῷ λέγοντι. Ἔδει τοίνυν καὶ ἐν τῇ ἀνθρωπίνῃ συλλήψει τοῦ θείου Λόγου τὴν ἀκεραιότητα τῆς μητρὸς μὴ φθαρῆναι, καὶ τούτου δήλου ὑπάρχοντος τοῦ τῷ Λόγῳ τοῦ Θεοῦ πάντα συνεστάναι καὶ ἐν τῇ ἑαυτῶν ἀκεραιότητι συντηρεῖσθαι.

Οὐ μέντοι τῆς γεννήσεως οὗτος ὁ τρόπος τῇ φυσικῇ καὶ ἀληθεῖ τοῦ Χριστοῦ ἐνανθρωπίσει ἐναντιοῦται, παρηλλαγμένος ὤν· ἡ γὰρ δύναμις τοῦ Θεοῦ, ἄπειρος οὖσα, δύναται προάγειν τὸ ἀποτέλεσμα τῆς αἰτίας τινὸς καὶ χωρὶς αὐτῆς, τοῦ αὐτοῦ ὂν εἴδους καὶ τῆς αὐτῆς φύσεως, ἐπεὶ καὶ πᾶσα αἰτία τῇ δυνάμει τῆς πρώτης αἰτίας, τοῦ Θεοῦ δηλαδή, προάγει τὸ ἀποτέλεσμα· ὥστε ἡ αὐτὴ δύναμις θεία, ἡ τῷ σπέρματι διδοῦσα τὴν τοῦ ποιεῖν δύναμιν, καὶ χωρὶς σπέρματος ἄνθρωπον συνέστησεν ἀληθῆ, εἶδος καὶ φύσιν ἔχοντα ἀνθρωπίνην.

Ἦν δὲ καὶ τῆς αὐτῆς ἡμῖν φύσεως τὸ τοῦ Χριστοῦ σῶμα, καὶ σπέρματος χωρὶς συλληφθέν. Τὸ γὰρ σπέρμα κατὰ τὸν Φιλόσοφον οὐχ ὡς ὕλη ἐστίν, ἀλλ' ἀρχὴ μόνον ποιητική· ὕλη δὲ τοῦ σώματος ἡ ὕλη παρὰ τῆς μητρὸς χορηγεῖται· καὶ οὕτως ὅσον πρὸς τὴν ὕλην, οὐδὲν τὸ τοῦ Χριστοῦ σῶμα διαφέρει τοῦ ἡμετέρου.

Ἀλλὰ καὶ τῆς Ἀριστοτελικῆς θέσεως μὴ κρατούσης, ἡ ἐκ μόνης ληφθεῖσα τῆς γυναικὸς ὕλη δύναται τῇ θείᾳ δυνάμει κατὰ τὸ τῆς γενέσεως

Ε.Υ.Δ της Ι.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τέλος ἐπὶ τὴν αὐτὴν ἕξιν ἀχθῆναι, εἰς ἣν καὶ ἡ ὕλη, ἡ ἐξ ἄρρενος ὁμοῦ ληφθεῖσα καὶ γυναικός· ὅθεν διὰ τὴν τῆς ὕλης διαφορὰν οὐδεμία ἔσται ἀνομοιότης τοῦ σώματος τοῦ Χριστοῦ πρὸς τὰ ἡμέτερα. Φανερὸν γὰρ ὅτι πλέον διαφέρει τῆς ἐξ ἀνδρὸς καὶ γυναικὸς ἅμα λαμβανομένης ὕλης ὁ χοῦς τῆς γῆς, ἐξ οὗπερ ὁ Θεὸς τὸν πρῶτον ἔπλασεν ἄνθρωπον, ἀληθῆ ὄντα ἄνθρωπον καὶ ἡμῖν ὅμοιον κατὰ πάντα, ἢ τῆς ἐκ γυναικὸς μόνον ληφθείσης ὕλης, ἐξ ἧς τὸ τοῦ Χριστοῦ διαπέπλασται σῶμα.

Ὅθεν ἡ ἐκ παρθένου τοῦ Χριστοῦ γέννησις οὐκ ἐναντιοῦται τῇ τῆς ἐνανθρωπήσεως ἀληθείᾳ, ἢ τῇ πρὸς ἡμᾶς ὁμοιότητι. Ἡ γὰρ θεία δύναμις οὐχ ὡρισμένῃ ὕλῃ στενοχωρεῖται ἐν τῷ ποιεῖν, ἡ πάντα παράγουσα, ὡς ἡ φυσικὴ δύναμις. Ὁμοίως δὲ οὐδ' ἀπόλλυταί τι τῆς ἀξίας τῇ μητρὶ τοῦ Χριστοῦ, ὅτι παρθένος συνέλαβε καὶ ἐκύησεν, ὥστε διὰ τοῦτο φύσει καὶ ἀληθῆ μητέρα μὴ λέγεσθαι· τῆς γὰρ θείας δυνάμεως ἐνεργούσης, τὴν ὕλην αὐτὴ ἐχορήγησεν, ἣ ζητεῖται μόνη | παρὰ τῆς μητρός· τὰ δὲ ἐν f. 167 ταῖς ἄλλαις μητράσι παρακολουθοῦντα πάντα οὐδὲν πρὸς τὸ τῆς μητρὸς συντελοῦσιν, ἀλλὰ πρὸς τὸ τοῦ πατρὸς μόνον, ἵνα δηλονότι τὸ τοῦ ἄρρενος σπέρμα ἐπὶ τὸν τόπον τῆς γενέσεως φθάσῃ.

## XLVI. — Ὅτι ὁ Χριστὸς ἐκ Πνεύματος ἁγίου γεγένηται.

Ἀλλ' εἰ καὶ πᾶσα θεία ἐνέργεια, δι' ἧς ἐν τοῖς κτίσμασι γίνεταί τι, ὅλῃ τῇ Τριάδι ἐστὶ κοινή, ἡ μέντοι μόρφωσις τοῦ σώματος τοῦ Χριστοῦ τῷ ἁγίῳ Πνεύματι ἀποδίδοται, εἰ καὶ ὅλῃ τῇ Τριάδι ἐστὶ κοινή. Ὡς γὰρ ὁ ἡμέτερος λόγος ἔξω προενεχθεὶς αἰσθητὸς γίνεται, οὕτω καὶ ὁ τοῦ Θεοῦ Λόγος, κατὰ τὴν ἀΐδιον γέννησιν ἀόρατος ὤν, διὰ τῆς σαρκώσεως ἡμῖν γέγονεν αἰσθητός· ὅθεν ἡ σάρκωσις αὐτοῦ ὥσπερ ἡ τοῦ ἡμετέρου λόγου διὰ φωνῆς ἔκφανσίς ἐστιν· αὕτη δὲ διὰ τοῦ ἡμετέρου πνεύματος γίνεται, δι' οὗ ἡ φωνὴ τοῦ ἡμετέρου λόγου εἰδοποιεῖται. Ἔπειτα τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι τὸ ἐν τοῖς θείοις προϊὸν ὡς ἀγάπη, ὡς εἴρηται· τὸ δὲ προῖκα διδόμενον ἐκ τῆς ἀγάπης δίδοται τοῦ δωρουμένου. Οὐδεμία δὲ χάρις εἰσενήνεκται τῷ ἀνθρώπῳ μείζων ἢ τὸ κατὰ πρόσωπον ἓν τῷ Θεῷ ἑνωθῆναι. Πρεπόντως τοίνυν τοῦτο τὸ τῆς σαρκώσεως ἔργον τῷ ἁγίῳ Πνεύματι ἀποδίδοται.

## XLVII. — Ὅτι ὁ Χριστὸς οὐκ ἔστιν υἱὸς τοῦ ἁγίου Πνεύματος κατὰ σάρκα.

Καίτοι ἐκ Πνεύματος ἁγίου καὶ τῆς παρθένου λέγεται συλληφθῆναι· οὐ γὰρ παρήγαγε τὴν ἀνθρωπίνην φύσιν ἐν τῷ Χριστῷ ἐκ τῆς οὐσίας αὐτοῦ, ἀλλὰ τῇ ἰδίᾳ δυνάμει μόνον ἐνήργησε πρὸς τὴν τούτου παραγωγήν.

---

30 *εἰσενηνέγται* A



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Οὐκ ἄρα δυνατὸν λέγεσθαι τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν ἀνθρωπίνην γέννησιν τοῦ Χριστοῦ πατέρα. Ἄτοπον δ' ἂν ἦν καὶ τὴν τοῦ πατρὸς αἰτίαν καὶ τὸ ὄνομα ἐφ' ἕτερον μεταφέρεσθαι πρόσωπον, ὃ συνέβαινεν ἄν, εἰ τὸ Πνεῦμα τὸ ἅγιον πατὴρ ἐλέγετο τοῦ Χριστοῦ.

Ἢ εἰ μὴ τοῦτ' ἦν, διὰ τὸ ἀδύνατον εἶναι τὸν τοῦ Θεοῦ Λόγον υἱὸν εἶναι τοῦ Πνεύματος, ἠκολούθει ἂν τὸν Χριστὸν δύο υἱοὺς εἶναι καὶ δύο πρόσωπα, ὅπερ ἀποδεδοκίμασται ὡς ἀλλότριον τῆς πίστεως.

### XLVIII. — Ὅτι οὐ δεῖ λέγειν κτίσμα εἶναι τὸν Χριστόν, ἁπλῶς.

Καίτοι ἡ ὑπὸ τοῦ Λόγου προσληφθεῖσα φύσις κτίσμα τί ἐστιν· ἐν γὰρ τῷ Χριστῷ οὐκ ἔστιν ὑπόστασις ἑτέρα ἢ πρόσωπον εἰ μὴ τοῦ Θεοῦ Λόγου, ὅπερ ἐστὶν ἄκτιστον. Μετὰ προσθήκης μέντοι δύναται λέγεσθαι, οἷον καθὸ ἄνθρωπος, ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν. Ἁπλῶς μέντοι λέ-
f. 167 v γεται εἶναι ἄνθρωπος, ἢ ὁρατός, ἢ περι|πατῆσαι, καὶ ἁπλῶς τὰ τῇ ἀνθρωπίνῃ ἑπόμενα φύσει ἰδίως δυνατὸν τοῦ Χριστοῦ κατηγορεῖσθαι ἄνευ προσθήκης· ὃ δέ ἐστιν ἴδιον τοῦ προσώπου οὐ κατηγορεῖται τοῦ Χριστοῦ τῷ τῆς ἀνθρωπίνης φύσεως λόγῳ εἰ μὴ μετά τινος προσθήκης ἢ διαρρήδην λεγομένης, ἢ ἔξωθεν νοουμένης.

### XLIX. — Λύσεις τῶν κατὰ τῆς σαρκώσεως λόγων.

Τούτων ἤδη κειμένων, τὰ κατὰ τῆς σαρκώσεως ἀντιτεθέντα ῥάδιον λύειν. Δέδεικται γὰρ οὐχ οὕτω δεῖν τὴν σάρκωσιν τοῦ Θεοῦ Λόγου νοεῖσθαι ὡς τοῦ Λόγου εἰς σάρκα μεταβληθέντος, ἢ ὡς εἶδος ἡνωμένον τῷ σώματι. Ὅθεν οὐχ ἕπεται τῷ τὸν Λόγον σαρκωθῆναι τὸ τὸν Θεὸν εἶναι σῶμα.

Ὡμοίως οὐδ' ἀναγκαῖον οὐσιωδῶς μεταβεβλῆσθαι τὸν Λόγον διὰ τὴν σάρκωσιν· οὐδεμία γὰρ ἐν τῷ Λόγῳ μεταβολὴ γέγονεν, ἀλλ' ἐν μόνῃ τῇ ἀνθρωπίνῃ φύσει τῇ προσληφθείσῃ ὑπὸ τοῦ Λόγου, καθ' ἣν προσήκει τῷ Λόγῳ καὶ γεννηθῆναι χρονικῶς, ἀλλ' οὐ καθ' ἑαυτόν· ὁμοίως, οὐδ' ἐκ τῆς ἀνθρωπίνης φύσεως ὁ Λόγος ἔχει τὸ ὑφεστάναι, ἀλλὰ μᾶλλον αὐτὸς τὴν ἀνθρωπίνην φύσιν εἰς τὴν ἰδίαν ὑπόστασιν ἢ τὸ πρόσωπον ἕλκει· οὐ γὰρ δι' ἐκείνης, ἀλλ' ἐν ἐκείνῃ συνίσταται. Ὅθεν τὸν τοῦ Θεοῦ Λόγον οὐδὲν κωλύει εἶναι πανταχοῦ, εἰ καὶ ἡ προσληφθεῖσα πανταχοῦ φύσις οὐκ ἔστιν.

Ἀλλ' οὐδὲ ἡ ὑπόστασις τοῦ Λόγου ὑπόστασις τῆς ἀνθρωπίνης λέγεται φύσεως ὥσπερ ὑφιστάμενον αὐτῇ ὡς εἰδικωτέρῳ· οὐ γὰρ διὰ τῆς ἀνθρωπίνης φύσεως ἁπλῶς συνίσταται ἐν τῷ εἶναι, ἵνα οὕτως ἔχῃ, ἀλλὰ λέγεται ὑποκεῖσθαι τῇ ἀνθρωπίνῃ φύσει ἡ τοῦ Λόγου ὑπόστασις καθόσον αὐτὴν εἰς τὴν ἰδίαν ὑπόστασιν ἕλκει, ὥσπερ ἕλκεταί τι πρὸς ἕτερον τιμιώτερον, ᾧ ἑνοῦται.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἀλλ' οὐδ' ἕπεται τὴν ἀνθρωπίνην φύσιν κατὰ συμβεβηκὸς ἐπιέναι τῷ Λόγῳ διὰ τὸ τὸν Λόγον ἐξ ἀϊδίου ὑφεστάναι· οὕτω γὰρ ὁ Λόγος τὴν ἀνθρωπίνην ἀνέλαβε φύσιν ὥστ' ἀληθῶς εἶναι ἄνθρωπον· τὸ δὲ εἶναι ἄνθρωπον, εἶναι ἐστὶν ἐν τῷ τῆς οὐσίας γένει. Ἐπεὶ τοίνυν ἐκ τῆς πρὸς τὴν ἀνθρωπίνην φύσιν ἑνώσεως ἡ τοῦ Λόγου ὑπόστασις ἔχει τὸ εἶναι ἄνθρωπος, οὐ κατὰ συμβεβηκὸς ἔπεισι τούτῳ· τὰ γὰρ συμβεβηκότα τὸ οὐσιῶδες εἶναι οὐ συνεισφέρουσιν.

L. — Ὅτι ἡ προγονικὴ ἁμαρτία κάτεισιν εἰς τοὺς ὕστερον.

Ἐπεὶ τοίνυν ἐδείχθη οὐκ ἀδύνατον εἶναι τὸ περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ πιστευόμενον ἡμῖν, ἑπόμενόν ἐστι δεῖξαι, ὅτι δέον ἦν ἀνθρωπίνην φύσιν ἀναλαβεῖν τὸν Υἱὸν τοῦ Θεοῦ· αἰτίαν δὲ τούτου | δίδωσιν ὁ Ἀπόστολος f. 168
τὸ πάντας διελθεῖν προγονικὸν ἁμάρτημα. Ἐν γὰρ τῇ πρὸς Ῥωμαίους φησίν, ὅτι „ὥσπερ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατέστησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς τοῦ ἑνὸς ἀνθρώπου ὑπακοῆς ἐδικαιώθησαν οἱ πολλοί". Ἐπεὶ δὲ οἱ Πελαγιανοὶ τὸ προγονικὸν ἁμάρτημα παντελῶς ἀνῄρουν, δεικτέον ἂν εἴη, ὅτι οἱ ἄνθρωποι μετὰ τῆς προγονικῆς ἁμαρτίας γεννῶνται.

Πρῶτον μὲν γάρ, τὸ ἐν τῇ Γενέσει εἰρημένον περὶ τῆς ἐντολῆς καὶ τῆς ἀπειλῆς, ὅτι· „Οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγεσθε, θανάτῳ ἀποθανεῖσθε", ἤγουν ἀνάγκῃ θανάτῳ ὑποκείσεσθε, μάτην ἂν ἐλέγετο, εἰ ἐκ τῆς συστάσεως τῆς ἰδίας φύσεως τὴν τοῦ ἀποθνῄσκειν ἀνάγκην ὁ ἄνθρωπος εἶχεν· ἀλλὰ δίκη ἐστὶν ἡ ἀνάγκη αὕτη καὶ ὁ θάνατος· δίκη δ' οὐκ ἂν ἐπαχθείη εἰ μὴ δι' ἁμαρτίαν. Ἐν οἷς οὖν ἡ δίκη εὑρίσκηται, δεῖ καὶ τὴν ἁμαρτίαν εὑρίσκεσθαι. Ἀλλ' ἡ δίκη ἐν πᾶσιν ἀνθρώποις ἐστὶν εὐθὺς γενομένοις· ὑποκείμενος γὰρ τῷ θανάτῳ πᾶς τις γεννᾶται· ὅθεν καί τινες ἐκ τῆς μήτρας ἐπὶ τὸν τάφον μεταφέρονται. Ἁμαρτία τις ἄρα ἐστὶν ἐν αὐτοῖς· ἀλλ' οὐ κατ' ἐνέργειαν· οὐ γὰρ ἔχουσι τὴν τοῦ αὐτεξουσίου χρῆσιν τὰ παιδία, ἧς ἄνευ οὐδεμία ἁμαρτία λογίζεται τῷ ἀνθρώπῳ. Ἀνάγκη τοίνυν εἶναί τινα ἐν αὐτοῖς ἁμαρτίαν ἐκ τῆς πρώτης αὐτῶν καταβολῆς εἰσαχθεῖσαν. Τοῦτο δὲ ἀριδήλως ἐν τῇ πρὸς Ῥωμαίους λέγεται· „Ὥσπερ δι' ἑνὸς ἀνθρώπου εἰς τὸν κόσμον τοῦτον ἡ ἁμαρτία εἰσῆλθεν, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, οὕτω καὶ ἐπὶ πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν ἀφ' ἑνός, ἐν ᾧ πάντες ἥμαρτον"· εἶτα ἵνα μὴ δόξῃ κατὰ τὸν τῆς μιμήσεως τρόπον τοῦτο λέγεσθαι, ὅπερ οὐκ ἂν ἦν ἀληθὲς περὶ πάντων· οὐ γὰρ πάντες μιμοῦνται τὸ ἁμαρτάνειν· προστίθησιν, ὅτι· „Ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας

---

14 Rom. 5, 19 20 Gen. 2, 15-17 31 Rom. 5, 12 34 *διῆλθον* A
36 Rom. 5, 14

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καθ' ὁμοιότητα τῆς παραβάσεως τοῦ Ἀδάμ", ὡς ἐξ αἰτίας τοῦτο ἧκον, οὐκ ἐκ μιμήσεως.

Καὶ τὸ ἐν τοῖς Ψαλμοῖς· „Ἐν ἀνομίαις συνελήφθην", καὶ τὰ ἑξῆς, οὐ περὶ τῆς κατ' ἐνέργειαν ἁμαρτίας νοούμενον, ἐκ νομίμου γάμου τοῦ Δαυῒδ λεγομένου συλληφθῆναι καὶ γεννηθῆναι, περὶ τῆς προγονικῆς ἁμαρτίας νοεῖται.

f. 168v Ὅθεν καὶ ἡ ἐκκλησία τὸ βάπτισμα | τοῖς ἀρτιγεννήτοις παιδίοις δίδωσιν οὐ κακῶς οὐδὲ μάτην, ἀλλ' εἰς κάθαρσιν ἁμαρτίας, ἀπὸ τῆς αἰτίας αὐτῶν δήπου μετενεχθείσης, ἐπεὶ τὴν κατ' ἐνέργειαν ἁμαρτίαν οὐκ ἔχουσιν, ὡς προείρηται. Εἰ δέ τις λέγοι δίδοσθαι αὐτοῖς τοῦτο ἕνεκα τοῦ τῆς βασιλείας τυχεῖν διὰ τὸ ἐν τῷ κατὰ Ἰωάννην· „Εἰ μή τις ἀναγεννηθῇ δι' ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν", μάταιος ὁ λόγος· οὐδεὶς γὰρ τῆς τοῦ Θεοῦ βασιλείας εἴργεται εἰ μὴ διά τινα ἁμαρτίαν· πάσης γὰρ λογικῆς κτίσεως τέλος τὸ ἐπὶ τὴν μακαριότητα φθάσαι ἐστίν, ἥτις ἐστὶν ἐν τῇ τοῦ Θεοῦ βασιλείᾳ· ἡ δὲ βασιλεία οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ ἡ τεταγμένη συμμορία τῶν τῆς θείας θεωρίας ἀπολαυόντων, ἐν ᾗ ἡ ἀληθὴς μακαριότης συνίσταται. Οὐδὲν δὲ τοῦ ἰδίου τέλους ἐκπίπτει εἰ μὴ διά τινα ἁμαρτίαν.

## LI. — Ἀντιθέσεις τινῶν κατὰ τῆς προγονικῆς ἁμαρτίας.

Τῆς δὲ ἀληθείας ταύτης ἐχθροί τινες ἀντιτιθέασιν οὕτως· πρῶτον μέν, ὅτι τὰ ἑτέρων ἁμαρτήματα οὐ καταλογίζονται ἄλλοις, ὡς ἐν τῷ Ἰεζεκιήλ· „Ὁ υἱὸς οὐ βαστάσει τὴν ἀνομίαν τοῦ πατρός"· τὸ δ' αἴτιον ὅτι μήτ' ἐπαινούμεθα μήτ' ὀνειδιζόμεθα εἰ μὴ διὰ τὰ ἐφ' ἡμῖν· ταῦτα δέ ἐστιν, ἃ βουλόμενοι πράττομεν· ὥστε οὐ δίκαιον ὅλῳ τῷ γένει λογίζεσθαι τὸ ἑνός, τοῦ πρώτου ἀνθρώπου, ἁμάρτημα. Δεύτερον, ὅτι τὸ ἀποστολικόν, τὸ ἐν τῷ Ἀδὰμ πάντας ἁμαρτεῖν, ἀνίσχυρον φασὶν εἶναι· τὸ γὰρ ἁμαρτάνειν ἐνεργεῖν ὄν, τῷ ἐνεργείᾳ ὑφεστῶτι ἁρμόζει· οἱ δὲ ἐκ τοῦ Ἀδὰμ πάντες ἐν τῷ Ἀδὰμ δυνάμει εἰσὶν ὡς ἐν πρώτῃ αἰτίᾳ πρὸ τοῦ γενέσθαι· ἀλλ' οὐδ' αἰτιωδῶς ἐξ ἐκείνου καθήκειν τὴν ἁμαρτίαν εἰκὸς μετὰ τῆς φύσεως· τὸ γὰρ συμβεβηκὸς ἀδύνατόν ἐστιν ἄνευ τοῦ ὑποκειμένου ἀλλαχόσε μετάγεσθαι· ὑποκείμενον δὲ τῆς ἁμαρτίας, ἡ λογικὴ ψυχή, ἥτις ἐκ τοῦ προπάτορος οὐ κατάγεται, ἀλλ' ἐκ τοῦ Θεοῦ ἰδίως ἑκάστῳ δημιουργεῖται.

Ἔτι, καὶ ὁ Χριστός, φασίν, ἐκ τοῦ προπάτορος τὴν αἰτίαν ἔχει. Ἀλλ' ἀλλότριόν ἐστι τῆς πίστεως τὸ καὶ αὐτὸν ἁμαρτήματι προγονικῷ ὑποκεῖσθαι.

Ἔτι, ἐν τοῖς τοῦ εἴδους δεῖ τὸν υἱὸν ὁμοιοῦσθαι τοῖς γονεῦσιν· τὸ

3 Ps. 50, 7  9 *μετενεγχθείσης* A  11 Ioh. 3, 5  23 Ezech. 18, 19

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δ' ἁμάρτημα οὐκ ἔστι κατὰ τὸν λόγον τοῦ εἴδους· οὐ γάρ ἐστι τῶν κατὰ φύσιν, ἀλλὰ μᾶλλον τῆς φυσικῆς τάξεως | τοῦ ἀνθρώπου φθορά. Οὐκ f. 169 ἀνάγκη ἄρα, τοῦ πρώτου ἁμαρτόντος, ἐξ αὐτοῦ καὶ τοὺς ἄλλους ἁμαρτωλοὺς γίνεσθαι.

Ἔτι δὲ ἡ τοῦ προπάτορος ἁμαρτία κάτεισιν εἰς τοὺς ἄλλους· τὸ δ' ἀγαθὸν ἐν τῷ ποιεῖν μείζονός ἐστι δυνάμεως ἢ τὸ κακόν, ὡς ἀπεδείχθη· πολλῷ μᾶλλον τὸ δικαιωθῆναι τὸν Ἀδὰμ δι' αὐτοῦ κατῆλθεν ἂν εἰς τοὺς ἄλλους.

## LII. — Λύσεις τῶν ἀντιθέσεων τούτων.

Πρὸς δὴ τὴν λύσιν προδιαληπτέον ἂν εἴη, ὅτι τοῦ προγονικοῦ ἁμαρτήματος σημεῖα ἐν τῷ ἀνθρωπίνῳ φαίνεται γένει ἀριδήλως. Ὁρῶμεν γὰρ διαφόρους τιμωρίας κοινῶς τὸ ἀνθρώπινον γένος πάσχον, σωματικάς τε καὶ ἀσωμάτους· καὶ τῶν μὲν σωματικῶν μείζων ὁ θάνατος, πρὸς ὃν αἱ ἄλλαι τιμωρίαι τάττονται πᾶσαι, οἷον λιμός, δίψα καὶ τὰ τοιαῦτα· τῶν δὲ ἀσωμάτων μεγίστη ἡ τοῦ λόγου ἀσθένεια, δι' ἣν δυσχερὲς μὲν γνῶναι τὴν ἀλήθειαν, ῥᾳδίως δὲ καταρρεῖ τις ἐπὶ τὴν πλάνην. Ἔτι τε τὰς ζῳώδεις ἐπιθυμίας οὐχ οἷόν τε ἐστὶ καθάπαξ χωρίζειν, ἀλλ' ὑπ' αὐτῶν πολλάκις ἐπισκοτεῖται.

Καὶ δυνατὸν μέν τινι δοκεῖν τὰ ἐλαττώματα ταῦτα μὴ δίκην εἶναι, ἀλλὰ φυσικὰ καὶ τῇ ὕλῃ ἑπόμενα ἀναγκαίως. Ἀλλ' εἴ τις ὀρθῶς θεωροίη, τοὐναντίον ἐστίν. Κατὰ τὴν διδασκαλίαν γὰρ τῆς πίστεως οὕτω συνέστη τὴν ἀρχὴν ὁ ἄνθρωπος, ὥστε τὰς ταπεινοτέρας τῆς ψυχῆς δυνάμεις τῷ λόγῳ ὑπηρετεῖν, ἐφόσον αὐτὸς ὁ λόγος ὑπετέτακτο τῷ Θεῷ, καὶ τὸ ὑποτεταγμένον σῶμα ὑπὸ μηδενὸς ἐκείνων κωλύεσθαι δύνασθαι ὑπό τινος ἐμποδίου σωματικοῦ, τοῦ Θεοῦ τῇ χάριτι ἀναπληροῦντος ὅπερ ἡ φύσις ἧττον ἠδύνατο τελειοῦν· τοῦ δὲ λόγου ἀποστραφέντος ἀπὸ τοῦ Θεοῦ, τὰς μὲν ταπεινοτέρας δυνάμεις τῷ λόγῳ πολεμεῖν, τὸ δὲ σῶμα ἐναντία δέχεσθαι πάθη τῇ διὰ ψυχὴν οὔσῃ ζωῇ. Αὗται τοίνυν αἱ ἔνδειαι καὶ τὰ πάθη τῷ τὴν θείαν λογιζομένῳ πρόνοιαν καὶ τὴν τῆς ὑψηλοτέρας μοίρας ἐν τοῖς ἀνθρώποις ἀξίαν οὐ φυσικὰ ἀλλὰ κατὰ δίκην ἐπῆχθαι φαίνονται· καὶ οὕτω συνάγεσθαι δυνατὸν ἁμαρτίᾳ τινὶ προγονικῇ πεφυρμένον εἶναι τὸ ἀνθρώπινον γένος.

Τούτων θεωρηθέντων, ἐπὶ τὰς λύσεις ἰστέον.

Πρὸς μὲν οὖν τὸ πρῶτον φαμέν, ὅτι τὸ προσωπικὸν ἁμάρτημα ὁμολογουμένως οὐκ ἂν ἑτέρῳ λογισθείη, | εἰ προσωπικὸν μόνον εἴη. Ἀλλὰ τὸ f. 169v ἁμάρτημα τοῦ πρώτου ἀνθρώπου καὶ προσωπικὸν ἦν, καθόσον αὐτὸν ἐστέρησε τοῦ οἰκείου ἀγαθοῦ, καὶ φυσικόν, καθόσον ἀφεῖλεν οὐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ τῶν ὑστέρων τὴν ὅλῃ τῇ ἀνθρωπίνῃ φύσει κατατεθεῖσαν εὐεργεσίαν. Ἡ γὰρ καλλίστη τάξις ἐκείνη τοῦ μὲν σώματος πρὸς τὴν

Ε.Υ.Δ της Κ.Σ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ψυχήν, τῶν δὲ ταπεινοτέρων δυνάμεων πρὸς τὸν λόγον, τοῦ δὲ λόγου πρὸς τὸν Θεόν, καὶ ἡ διὰ τῆς χάριτος ἀναπλήρωσις τοῦ τῇ φύσει ἐνδέοντος, οὕτω συνεισηνέχθη τῷ πρώτῳ ἀνθρώπῳ, ὥσθ' ἅμα τῇ φύσει ἐξ αὐτοῦ πρὸς τοὺς ὕστερον διαβαίνειν ὡς κοινή τις εὐεργεσία τῆς φύσεως· διὸ καὶ προγονικὴ δικαιοσύνη ὑπ' ἐνίων καλεῖται. Ἐφ' οὓς οὖν ἡ φυσικὴ καὶ προγονικὴ δικαιοσύνη ἔφθασεν ἄν, ἐπὶ τούτους καὶ ἡ προγονικὴ ἁμαρτία ὡς κοινὸν κακὸν ἦλθεν, καὶ ὡς στέρησις τοῦ τῇ κοινῇ φύσει προσήκοντος ἀγαθοῦ. Ἀληθὲς δέ ἐστι τὸ καὶ πάντας ἁμαρτεῖν ἐν τῷ Ἀδὰμ ἁμαρτόντι, οὐχ ὡς ἂν αὐτοὺς ἐνεργήσαντας, ἀλλ' ὡς τῇ ἐκείνου φύσει τῇ διὰ τῆς ἁμαρτίας φθαρείσῃ προσήκοντας.

Ἀλλὰ καὶ τὸ τῆς φύσεως ἁμάρτημα, ὃ προγονικὸν φαμέν, οὕτω μεταδίδοται ὡς καὶ αὐτὴ τοῦ εἴδους ἡ φύσις, ἥτις καίτοι διὰ τῆς λογικῆς τελειουμένη ψυχῆς, ὅμως οὐ μετὰ τοῦ σπέρματος διαβαίνει, ἀλλὰ μόνον τὸ σῶμα, τὸ πρὸς ὑποδοχὴν τοιαύτης ψυχῆς πεφυκός. Ὁ δὲ Χριστὸς κατῆλθε μὲν ἐκ τοῦ προπάτορος, οὐδενὶ μέντοι μολυσμῷ τῆς προγονικῆς ἁμαρτίας ἐνέτυχεν· μόνην γὰρ τὴν φύσιν τοῦ ἀνθρωπίνου σώματος ἐκεῖθεν ἔλαβεν· ἡ δὲ εἰδοποιὸς τοῦ σώματος δύναμις οὐκ ἐκ τοῦ προπάτορος κατῄει, ἀλλ' ἐκ τοῦ ἁγίου Πνεύματος ἦν· ὅθεν τὴν ἀνθρωπίνην φύσιν οὐχ ὡς ἀπὸ ποιοῦντος ἀνελάβετο τοῦ Ἀδάμ, ἀλλ' ὡς ἐξ ὑλικῆς ἀρχῆς.

Ἀλλὰ καὶ φυσικὸν ἦν τὸ ἁμάρτημα τοῦ πρώτου ἀνθρώπου τρόπον τινά, οὐχ ὡς ἐκ τῶν τῆς φύσεως ἀρχῶν προϊόν, ἀλλ' ὅτι οὕτω δέδοται τῷ ἀνθρώπῳ τὸ τῆς χάριτος δῶρον, ὥσθ' ἅμα τῇ φύσει καὶ τούτου διαδοχήν τινα εἶναι, καὶ ἀσθενήσαντος ἐν τῇ γονίμῳ ἀρχῇ διὰ τὴν ἁμαρτίαν αὐτῆς, καὶ τὴν σύμπασαν ἠρημῶσθαι φύσιν τῆς χάριτος. Ὅθεν εἰ καὶ μὴ τῷ λόγῳ τοῦ εἴδους ἐχρῆν τὸ ἁμάρτημα διαβαίνειν, ἀλλὰ τῷ λόγῳ τῆς ἀπουσίας τῆς χάριτος, ὥσπερ τῷ λόγῳ τῆς παρουσίας αὐτῆς διέβαινεν
f. 170 ἂν ἡ δικαιοσύνη | καὶ πρὸς ὅλον τὸ εἶδος.

Οὐκ ἠδυνήθη δὲ ὑπὲρ ὅλης τῆς φύσεως διαλύσασθαι ὁ Ἀδάμ, ἀλλ' ὑπὲρ τοῦ τῷ οἰκείῳ μόνῳ προσήκοντος προσώπῳ, διότι, εἰ καὶ ἡ ἁμαρτία αὐτοῦ ἀπὸ τῆς προσωπικῆς καὶ κατ' ἐνέργειαν εἰς τὴν φυσικὴν μετῆλθεν, ἐπεὶ καὶ ἡ φύσις ἐν αὐτῷ τελεία ἦν τῷ δώρῳ τῷ δοθέντι τῇ φύσει, ἀλλ' ἁπλῶς προσωπικὴ ἦν ἐν αὐτῷ. Ὅθεν οὐκ ἠδύνατο δι' ἑαυτοῦ τὸ τῆς φύσεως ἐπανασώσασθαι ἀγαθόν.

Ἰστέον δὲ ὅτι καὶ νῦν ἑκάστου τῶν πιστευόντων διὰ τῶν τῆς χάριτος μυστηρίων καθαιρομένου τῆς προγονικῆς ἁμαρτίας προσωπικὴ γίνεται τῆς ἁμαρτίας ἀπαλλαγή· ἡ δὲ φύσις οὐ παντελῶς θεραπεύεται. Ἡ μὲν γὰρ κάθαρσίς ἐστι προσωπική, τὸ δὲ προγονικὸν ἁμάρτημα τῇ τῆς φύσεως ἐνεργείᾳ συμβαίνει, καὶ διὰ τοῦτο μένει ἐν αὐτῷ καὶ τῇ τῆς αὐτοῦ γεννή-

---

3 *συνεισηνέγχθη* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σεως ἐνεργείᾳ, δι' ἧς φυσική ἐστιν ἀρχὴ τῆς γενέσεως ἕκαστος τῶν γεννώντων ἀνθρώπων.

## LIII. — Λόγοι τῶν ἀπιστούντων τῇ τοῦ Θεοῦ Λόγου σαρκώσει.

Πρῶτον μὲν φασὶ προσήκειν τῇ θείᾳ ἀγαθότητι τοῦτο, τὸ πάντα τὴν ἑαυτῶν τάξιν ἔχειν· αὕτη δ' ἐστὶ τῶν πραγμάτων ἡ τάξις, ἵνα ὁ μὲν Θεὸς ὑπὲρ πάντα ᾖ, ὁ δ' ἄνθρωπος ἐν τοῖς ὑποδεεστέροις κτίσμασι περιέχηται, καὶ οὐδαμῶς πρέπον ἦν διὰ τοῦτο τὴν θείαν μεγαλειότητα ἑνωθῆναι τῇ ἀνθρωπίνῃ φύσει.

Ἔτι, τὸ ἐκ τῆς τοιαύτης ἑνώσεως χρήσιμον ἠδύνατο ἂν παραυτίκα τῇ θείᾳ βουλήσει μόνον γενέσθαι παντοδυνάμου ὄντος.

Ἔτι, προσφυέστερον ἂν ἡνώθη τῇ ἀγγελικῇ φύσει ὅσῳ καὶ ὁμοιότερος αὐτῇ καὶ πλησιέστερος ἢ τῇ ἀνθρωπίνῃ.

Ἔτι, εἰ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων ἐν τῇ τῆς ἀληθείας κατανοήσει ἡ τοιαύτη γέγονεν ἕνωσις, τῇ πείρᾳ γινώσκομεν, ὅτι περὶ τὴν τοῦ Θεοῦ σάρκωσιν πλεῖσται αἱρέσεις ἀνέκυψαν.

Ἔτι, ἡ πάντων σωτηρία μόλις ἂν δόξειεν ἱκανὴ εἶναι ὠφέλεια, ὑπὲρ ἧς τὸ μέγιστον τῶν θείων γέγονεν ἔργων· καὶ μὴν οὐ πάντη τὸ ἀνθρώπινον σέσωσται γένος ἐκ τῆς τοῦ Θεοῦ σαρκώσεως.

Ἔτι, δι' ἱκανῶν τεκμηρίων ἐφανερώθη ἂν τὸ τὴν ἀνθρωπίνην φύσιν ἀναλαβεῖν τὸν Θεόν, εἰ πρὸς τὴν ἀνθρωπίνην ἐγένετο σωτηρίαν· ἀλλὰ δι' ἄλλων τῇ τοῦ Θεοῦ δυνάμει καὶ χωρὶς τοιαύτης ἑνώσεως μετὰ τοῦ Θεοῦ τοιαῦτα καὶ μείζονα γεγόνασι θαύματα.

Ἔτι, ἐδέησεν ἂν ἐξ ἀρχῆς τὴν τοιαύτην οἰκονομίαν γενέσθαι, καὶ μὴ περὶ τὰ τέλη τοῦ χρόνου· δοκεῖ γὰρ τὴν τῶν παρελθόντων ἀνθρώπων σωτηρίαν παρῶφθαι.

Ἔτι, καὶ μέχρι τέλους | ὤφειλε συναναστρέφεσθαι τοῖς ἀνθρώποις, f. 170v
νουθετήσων καὶ κυβερνήσων διηνεκῶς.

Ἔτι, ἡ τοῦ Θεοῦ θέλησις οὐδὲ πρὸς τὸν τῶν ἁμαρτωλῶν ἐστι θάνατον· πολλῷ τοίνυν ἔλαττον ἦν ἂν θέλησις τοῦ Θεοῦ καὶ Πατρὸς τὸν τελειότατον ἄνθρωπον θανάτῳ ὑποταγῆναι.

Ἔτι, ὠμὸν δοκεῖ καὶ ἀπεινὲς θάνατον ἀθῴῳ ἐπάγεσθαι ἐκ Θεοῦ, καὶ μάλιστα ὑπὲρ ἀσεβῶν καὶ τοῦ θνήσκειν ἀξίων.

Ἔτι, εἰ προσῆκον ἦν μείζονά τινα ἀνθρώπου ψιλοῦ ὑπὲρ ἀνθρώπων διαλύσασθαι, ἱκανὸν ἦν καὶ ἄγγελον σάρκα ἀναλαβόντα πληρῶσαι τὴν διάλυσιν, φύσει ἀνθρώπου ὑψηλότερον ὄντα.

Ἔτι, εἰ ὑπὲρ τῶν ἀνθρωπίνων ἁμαρτημάτων ἔπαθεν ὁ Χριστός,

---

4 Les raisons données sont numérotées en marge dans A: α', β', γ' etc.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006